## LOS TRABAJOS DE HERACLES:
### 7º EL TORO DE CRETA.

### NOTAS

Κρής, -ητός *de Creta*

Ἀκουσίλαος, -ου ὁ *Acusilao*, historiador griego

διαπορθμεύω *transportar*

Εὐρώπη, -ης ἡ *Europa*

Ζεύς, Διός ὁ *Zeus*

Ποσειδῶν, -ονος ὁ *Poseidón*

Μίνως, -ωος ὁ *Minos*, hijo de Europa y Zeus

φανέν Part. Aor. Pas. de φαίνω

Ἕβδομον ἐπέταξεν ἆθλον τὸν **Κρῆτα** ἀγαγεῖν ταῦρον. Τοῦτον **Ἀκουσίλαος** μὲν εἶναί φησι τὸν **διαπορθμεύσαντα** **Εὐρώπην** **Διί**, τινὲς δὲ τὸν ὑπὸ **Ποσειδῶνος** ἀναδοθέντα ἐκ θαλάσσης, ὅτε καταθύσειν Ποσειδῶνι **Μίνως** εἶπε τὸ **φανὲν** ἐκ τῆς θαλάσσης. Καί φασι, θεασάμενον αὐτὸν τοῦ ταύρου τὸ κάλλος, τοῦτον μὲν εἰς τὰ βουκόλια ἀποπέμψαι, θῦσαι δὲ ἄλλον Ποσειδῶνι καὶ ὀργισθέντα τὸν θεὸν ἀγριῶσαι τὸν ταῦρον. Ἐπὶ τοῦτον παραγενόμενος εἰς Κρήτην Ἡρακλῆς, λαβὼν καὶ πρὸς Εὐρυσθέα διακομίσας ἔδειξε, καὶ τὸ λοιπὸν εἴασεν ἄνετον· ὁ δὲ πλανηθεὶς εἰς Σπάρτην τε καὶ Ἀρκαδίαν ἅπασαν, καὶ διαβὰς τὸν Ἰσθμόν, εἰς Μαραθῶνα τῆς Ἀττικῆς ἀφικόμενος τοὺς ἐγχωρίους διελυμαίνετο.